UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Eidem. 250.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

omnium rerum euerſionem ſimul demonſtrabat (ſublato enim ac prorſus deleto eo, quod caput erat, maioríſque momenti, ne aliud quidem quicquam conſiſtere poterat. nam regni quoque baſis pietas erga Deum erat, quæ in Dei cultu poſita cenſebatur. Sed tamen regnum etiam finem habiturum dixit: hinc nimirum perfectam Iudaïcæ Reipublicæ ſubuerſionem prædicens. Quod etiam res ipſæ teſtantur, ad multo præſtantiorem & diuiniorem cultum ac religionem traductæ.

λιτικὴν κατάστασιν. μάλιστα μὲν γὰρ διὰ τῆς ἀναιρέσεως τῆς ἱερωσύνης, καὶ τὴν τῆς βασιλείας, καὶ τὴν ἄλλων ἁπάντων συνανέφηνε. τοῦ γὰρ κεφαλαιωδεστέρου καὶ κυριωδεστέρου παντάπασι καταλυομένου, οὐδ' ἄλλό τι συστῆναι ἠδύνατο. ἐπεὶ καὶ τῆς βασιλείας ἡ κρηπὶς, ἡ πρὸς τὸ θεῖον ἐτύγχανεν εὐσέβεια, ἥτις ἐν τῇ πρὸς θεὸν ἐκρίνετο λατρεία. πλὴν ἀλλὰ καὶ τὴν βασιλείαν ἔφη τελευτήσειν, παντελῆ προαναφαίνων τῆς Ιουδαϊκῆς πολιτείας τὴν ἀναίρεσιν. καὶ μαρτυρεῖ τὰ πράγματα, ἐπὶ βελτίονα πολλῷ καὶ θειοτέραν θρησκείαν ἐπαναχθέντα.

Eidem. 250.

Quandoquidem is, qui inopia conſtrictus eſt, donatore indiget, qui autem abigat, iudicis ope atque auxilio, idcirco Deus paupertatem, non moleſtiam cuiquam exhibere, ſed obſeruare vult. Quòd ſi omiſſa obſecratione, ad ſtruendas calumnias ſeſe cõuertat, eam profectò in iudicio miſerationi eſſe minimè æquũ fuerit. Ac propterea his verbis vſus eſt, in iudicio nõ miſereberis pauperis. Etenim ipſius quidem miſericordia affici cõuenit, at non cũ litigat, ſed cùm obſecrat. Si autẽ preces in accuſationẽ vertat, iuſtitia miſericordiæ anteponẽda eſt. Neq; enim ius corrumpi iuſtũ eſt.

Τῷ αὐτῷ. σν.

Ἐπειδὴ ὁ μὲν δεόμενος δεῖται τοῦ δώσοντος. ὁ δὲ ἀμφισβητῶν τοῦ δικάσοντος, οὐ τὴν πενίαν φιλοπραγμονεῖν βούλεται, ἀλλὰ παρακαλεῖν. εἰ δὲ τὴν παράκλησιν ἀφεῖσα, εἰς συκοφαντίαν τραπείη, ἐλεεῖσθαι ἐν κρίσει οὐκ ἂν εἴη δίκαια. διὰ τοῦτο ἔφη, οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει. ἐλεητέον μὲν γὰρ, οὐ κρινόμενον δὲ, ἀλλ' ἀντιβολοῦντα. εἰ δὲ τὸ παρακαλεῖν εἰς τὸ ἐγκαλεῖν τρέψειεν, τὸ δίκαιον ἔμπροσθεν τοῦ ἐλέους θετέον. οὐ γὰρ δίκαιον τὸ δίκαιον διαφθείρεσθαι.

Eidem. 251.

Non opes, non pulchritudo, nõ robur, non facundia, non ſplendida aut ſplendorem omnem excedens dignitas, non Hyparchorũ thronus, nõ purpura, non diadema, eos, qui hæc habẽt, perinde honeſtare ſolet, vt virtus ac philoſophia. Quid igitur cauſæ eſt, quamobrem mortaliũ plerique acerrima quidem illarum rerũ cupiditate incitantur, has autẽ minùs curant? Nimirũ quia partim ea, quę ſpecie tenus ſunt, magis quàm ea, quæ ſunt, aucupantur: partim id, quod ſtatim vtile eſt, eo, quod aliquanto poſtea vtilitatem allaturum eſt, prius atque antiquius habent: partim

Τῷ αὐτῷ. σνα.

Οὐ πλοῦτος, οὐ ῥώμη, οὐκ εὐγλωττία, οὐ λαμπρὸν ἢ ὑπέρλαμπρον ἀξίωμα, οὐχ ὁ τῶν ὑπάρχων θρόνος, οὐκ ἁλουργὶς, καὶ διάδημα σεμνύνειν τοὺς ἔχοντας πέφυκεν, ὡς ἀρετὴ καὶ φιλοσοφία. τίνος οὖν ἕνεκεν οἱ πολλοὶ τῶν ἀνθρώπων περὶ μὲν ἐκεῖνα ἐπτόηνται, τούτων δὲ ἧττον φροντίζουσιν, ἐπειδὴ οἱ μὲν τὰ δοκοῦντα πρὸ τῶν ὄντων θηρεύουσιν, οἱ δὲ τὸ αὐτίκα μάλα τοῦ μικρὸν ὕστερον συνοίσοντος προτιμῶσιν, οἱ δὲ τὴν κρίσιν τῶν πραγμάτων διεφθαρμένην ἔχουσιν. οἱ δὲ οὐδ' εἶναί τι μετὰ τόνδε τὸν βίον νομίζουσι,